κυπαρίσσινα. [25]πλοῖα, ἐν αὐτοῖς Καρχηδόνιοι ἔμποροί σου ἐν τῷ 25
πλήθει ἐν τῷ συμμίκτῳ σου, καὶ ἐνεπλήσθης καὶ ἐβαρύνθης σφόδρα
ἐν καρδίᾳ θαλάσσης. [26]ἐν ὕδατι πολλῷ ἦγόν σε οἱ κωπηλάται 26
σου · τὸ πνεῦμα τοῦ νότου συνέτριψέν σε ἐν καρδίᾳ θαλάσσης.
[27]ἦσαν δυνάμεις σου καὶ ὁ μισθός σου καὶ τῶν συμμίκτων σου 27
καὶ οἱ κωπηλάται σου καὶ οἱ κυβερνῆταί σου καὶ οἱ σύμβουλοί
σου καὶ οἱ σύμμικτοί σου ἐκ τῶν συμμίκτων σου καὶ πάντες οἱ
ἄνδρες οἱ πολεμισταί σου οἱ ἐν σοὶ καὶ πᾶσα ἡ συναγωγή σου
ἐν μέσῳ σου, πεσοῦνται ἐν καρδίᾳ θαλάσσης ἐν τῇ ἡμέρᾳ τῆς
πτώσεώς σου. [28]πρὸς τὴν φωνὴν τῆς κραυγῆς σου οἱ κυβερνῆταί 28
σου φόβῳ φοβηθήσονται, [29]καὶ καταβήσονται ἀπὸ τῶν πλοίων 29
πάντες οἱ κωπηλάται σου καὶ οἱ ἐπιβάται καὶ οἱ πρωρεῖς τῆς θα-
λάσσης ἐπὶ τὴν γῆν στήσονται [30]καὶ ἀλαλάξουσιν ἐπὶ σὲ τῇ φωνῇ 30
αὐτῶν καὶ κεκράξονται πικρὸν καὶ ἐπιθήσουσιν ἐπὶ τὴν κεφαλὴν
αὐτῶν γῆν καὶ σποδὸν ὑποστρώσονται. [32]καὶ λήμψονται οἱ υἱοὶ 32
αὐτῶν ἐπὶ σὲ θρῆνον καὶ θρήνημά σοι [33]Πόσον τινὰ εὗρες μισθὸν 33
ἀπὸ τῆς θαλάσσης; ἐνέπλησας ἔθνη ἀπὸ τοῦ πλήθους σου καὶ
ἀπὸ τοῦ συμμίκτου σου ἐπλούτισας πάντας βασιλεῖς τῆς γῆς.
[34]νῦν συνετρίβης ἐν θαλάσσῃ, ἐν βάθει ὕδατος · ὁ σύμμικτός σου 34
καὶ πᾶσα ἡ συναγωγή σου ἐν μέσῳ σου ἔπεσον, πάντες οἱ κωπ-
ηλάται σου. [35]πάντες οἱ κατοικοῦντες τὰς νήσους ἐστύγνασαν 35
ἐπὶ σέ, καὶ οἱ βασιλεῖς αὐτῶν ἐκστάσει ἐξέστησαν, καὶ ἐδάκρυσεν
τὸ πρόσωπον αὐτῶν. [36]ἔμποροι ἀπὸ ἐθνῶν ἐσύρισάν σε· ἀπώλεια 36
ἐγένου καὶ οὐκέτι ἔσῃ εἰς τὸν αἰῶνα.
[1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Καὶ σύ, υἱὲ ἀνθρώ- 28
που, εἰπὸν τῷ ἄρχοντι Τύρου Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ὑψώθη
σου ἡ καρδία, καὶ εἶπας Θεός εἰμι ἐγώ, κατοικίαν θεοῦ κατῴκηκα

25 εν αυτοις καρχ. > Bpau. | καρχ. εμποροι σου] + θαρσος εμποροι σου A || 26 καρδια] μεσω A || 27 και των συμμ.] εν τω συμμικτω A† | και $3^{0}$ > A | οι εν σοι] > A†, οι > Q | η > B† || 28 φωνην της κραυγης A pl.] κραυγην της φωνης B*L* | φοβω > A || 29 και $1^{0}$ > A | πλοιων B†] + αυτων rel. = 𝔐 | σου > BQ† = 𝔐 | επι της γης A pau. || 30 αλλαξονται A(†) | τη φωνη] την -νην Q, την κραυγην A† | πικρως A pau. | υποστρωσ.] υπο > B | fin. B†] + (31) και φαλακρωσουσιν επι σε φαλακρωμα(+τα A) και περιζωσονται(A† om. σο) σακκον και κλαυσονται περι σου εν πικρασμω ψυχης και κοπετον πικρον uel sim. rel. (in *O* sub ※), ubi και ult. postea additum esse existimo; post πικρον superadd. A εκστησονται || 32 οι υιοι αυτων / επι σε] tr. B = 𝔐 | και ult. > B | σοι] σορ B*L* | fin. B†] + τις ωσπερ τυρος κατασιγηθεισα εν μεσω θαλασσης rel. (in *O* sub ※) || 33 τινα] pr. και A | ενεπλησας] οι pro λ A† | παντας] + τους A || 34 παντες οι κωπ. σου] in *O* sub ÷, post 35 νησους tr. A† (hab. και οι κωπ. pro παντες οι κωπ.) || 35 εδακρυσαν τω προσωπω A | fin.] + επι σοι A || 36 fin.] + λεγει κυριος ο θεος A

28 2 και συ > A† = 𝔐: cf. 27 2 | κυριος] + ο θεος A: cf. 6. 25 14 6 | ων] ου B†: cf. 26 2 | κατωκησα A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/823 UNIVERSITÄT LEIPZIG